UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# In Vaticinia Isaiae, Prophetae Clarissimi, Paraphrasis, Heroico carmine conscripta

**Carpenteius, Joannes**

**Antverpiæ, 1588**

Eis Τηη Προφητειαν Του Archiπροφhητου Hsaiou Υπο Του Σοφωτατογ Ιωαννου ...

urn:nbn:de:hbz:466:1-68688

Visual Library

# ΕΙΣ ΤΗΝ ΠΡΟΦΗΤΕΙΑΝ ΤΟΥ ΑΡΧΙΠΡΟΦΗΤΟΥ ΗΣΑΙΟΥ

ΥΠΟ ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΙΩΑΝΝΟΥ

Καρπεντείου ἡρωϊκοῖς στίχοις ῥωμαϊστὶ μεταφρασθεῖσαν.

Κυδαλίμου κόσμησεν ἀγακλυτὸς υἱὸς Ἀμώσου
Θέσπισι κλεινοτάταν εὐεπίαις Σολύμαν,
Ἀττρεβατεὺς δ' ὁ Μάρων λογιώτατον ἀρχι-
προφήτην
Κόσμει ὑπερκόμψοις θαυμασίοις μέλεσιν·
Ἑβραϊκῆς φωνῆς εὖ εἰδότας ἤλιθα παύρους
Πρόσθεν ἔτερπε μέγας μελύπις ἀριστολόγος,
Νυνὶ, λατῖνα χέων θεσπίσματα σιγαλόεντα,
Πάντας ὁμοῦ σοφίης πλῆσε καὶ εὐφροσύνης·
Ω πότνιαι χάριτες, ὢ σεμνολογήματα κεδνά,
Πάγκαλα ὢ γλαφυρῆς ἄνθεα συνθεσίης!
Ω βλάστημα τρυφῆς νοοθρέμμονος ἀγλαόκαρπον,
Ω δαίδαλμα φρενὸς πολύσοφον ἠγαθέης!
Ως, θεόπιστε Μάρων, ἀφάτων θησαυρὸν ἐάων
Δημόσιον γνοφόθεν πρὸς φάος ἐξανάγεις,
Πᾶσι μεγωφελίης τερπνῆς, σοὶ κύδεος αὐτῷ
Πάντας ἐς αἰῶνας περίξενον ὠλυγίου!
Ἄμβροτον ἀλλὰ σοφοὶ ὁσίου ποίημα Μάρωνος
Ἀξιεπαινότατον δέχθε φιλοφρονέως,
Ἡδυμελίφθογγον ποτιδέγμενοι ὑδέα Ῥούθης
Φαίδιμον αὐσονίῳ φάρεϊ λαμπροτάτῳ.

ΙΩΑΝΝΟΥ ΣΥΛΒΙΟΥ ΑΤΤΡΕΒΑΤΑΙΟΥ